# ZT07 Archilochos 1

1W, 1D

| | |
|---|---|
| εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος | Ἐνυάλιος kriegerisch, Ares |
| καὶ Μουσ<έω>ν ἐρατὸν δῶρον ἐπιστάμενος. | |

2 W, 2 D

| | |
|---|---|
| ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος | ἡ μᾶζα Gerstenbrot – μάσσω kneten |
| Ἰσμαρικός· πίνω δ' ἐν δορὶ κεκλιμένος. | |

3 W, 3 D Im lelantischen Krieg zwischen Chalkis und Eretria (beide auf Euboia) waren Fernwaffen verpönt.

| | |
|---|---|
| οὔτοι πόλλ' ἐπὶ τόξα τανύσσεται, οὐδὲ θαμειαὶ | τὸ τόξον Bogen – τανύω spannen (τείνω) – μῶλος Mühe, Kampf |
| σφενδόναι, εὖτ' ἂν δὴ μῶλον Ἄρης συνάγῃ | θαμέες, θαμειαί zahlreiche – σφενδόνη Schleuder – εὖτε als, wenn |
| ἐν πεδίῳ· ξιφέων δὲ πολύστονον ἔσσεται ἔργον· | τὸ ξίφος, ους Schwert – πολύστονος viel Leid/KLagen bringend |
| ταύτης γὰρ κεῖνοι δάμονές εἰσι μάχης | δάμων = δαήμων kundig, erfahren |
| δεσπόται Εὐβοίης δουρικλυτοί. | δουρίκλυτος speerberühmt |

5 W, 6 D

| | |
|---|---|
| ἀσπίδι μὲν Σαίων τις ἀγάλλεται, ἣν παρὰ θάμνωι, | οἱ Σάϊοι die Saier in Thrakien - ἀγάλλομαι angeben - θάμνος Gebüsch |
| ἔντος ἀμώμητον, κάλλιπον οὐκ ἐθέλων· | τὸ ἔντος Gerät, Waffe - ἀμώμητος untadelig - κάλλιπον = κατέλιπον |
| αὐτὸν δ' ἐξεσάωσα. τί μοι μέλει ἀσπὶς ἐκείνη; | ἐκσαόω Nbnform zu ἐκσῴζω erretten |
| ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω. | ἔρρω fortgehen, dahingehen |

13 W, 7 D

| | |
|---|---|
| κήδεα μὲν στονόεντα Περίκλεες οὔτέ τις ἀστῶν | τὸ κῆδος Sorge, Trauer - στονόεις schmerzlich, bitter |
| μεμφόμενος θαλίῃς τέρψεται οὐδὲ πόλις· | ἡ θαλίη Freude, Feier, Festlichkeit |
| τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης | πολύφλοισβος vielbrausend - κατακλύζειν – hinabspülen, verschlingen |
| ἔκλυσεν, οἰδαλέους δ' ἀμφ' ὀδύνῃς ἔχομεν | οἰδαλέος geschwollen, beklommen – ὀδύνη Schmerz, Traurigkeit |
| πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν | ἀνήκεστος unheilbar (ἀκέομαι) |
| ὦ φίλ' ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν | ἡ τλημοσύνη Fähigkeit des Ertragens, Geduld, Fassung |
| φάρμακον. ἄλλοτε ἄλλος ἔχει τόδε· νῦν μὲν ἐς ἡμ<έα>ς | |
| ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν, | ἀναστένω – beklagen |
| ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται. ἀλλὰ τάχιστα | |
| τλῆτε, γυναικεῖον πένθος ἀπωσάμενοι. | τλῆτε fasst euch! Seid starkmütig! |

14 W, 9 D

| | |
|---|---|
| Αἰσιμίδη, δήμου μὲν ἐπίρρησιν μελεδαίνων | ἡ ἐπίρρησις - Nachrede - μελεδαίνω - sich sorgen, sich kümmern |
| οὐδεὶς ἂν μάλα πόλλ' ἱμερόεντα πάθοι. | ἱμερόεις lieblich |

19 W,22 D iamabischer Trimeter

| | |
|---|---|
| "οὔ μοι τὰ Γύγ<εω> τοῦ πολυχρύσου μέλει, | |
| οὐδ' εἷλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι | ἀγαίομαι = ἄγαμαι bewundern, nacheifern |
| θ<εῶ>ν ἔργα, μεγάλης δ' οὐκ ἐρ<έω> τυραννίδος· | |
| ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν." | |

128 W, 67a D trochäischer Tetrameter

| | |
|---|---|
| θυμέ, θύμ', ἀμηχάνοισι κήδεσιν κυκώμενε, | κυκώμενος aufgewühlt; gequält |
| +ἀναδευ δυσμενῶν+ δ' ἀλέξ<εο> προσβαλὼν ἐναντίον | ἀλέξω abwehren |
| στέρνον +ἐνδοκοισιν ἐχθρῶν πλησίον κατασταθεὶς | τὸ στέρνον Brust, Gemüt |
| ἀσφαλ<έω>ς· καὶ μήτε νικ<έω>ν ἀμφάδην ἀγάλλεο, | ἀμφαδήν offen (ἀνα-φαίνω) |
| μηδὲ νικηθεὶς ἐν οἴκωι καταπεσὼν ὀδύρεο, | |
| ἀλλὰ χαρτοῖσίν τε χαῖρε καὶ κακοῖσιν ἀσχάλα | χαρτός erfreulich - ἀσχαλάω sich ärgern, betrübt sein |
| μὴ λίην, γίνωσκε δ' οἷος ῥυσμὸς ἀνθρώπους ἔχει. | |

https://www.gottwein.de/Grie/lyr/LyrArchil01.php